οἷός τε πολλοῖς προβατίοις ἐφεστάναι.
ΦΙ. τί οὖν ὄφελος, τὸν τυρὸν εἰ κατεσθίει;
ΒΔ. ὅ τι; σοῦ προμάχεται καὶ φυλάττει τὴν θύραν
καὶ τἄλλ' ἄριστός ἐστιν. εἰ δ' ὑφείλετο,
ξύγγνωθι· κιθαρίζειν γὰρ οὐκ ἐπίσταται.
ΦΙ. ἐγὼ δ' ἐβουλόμην ἂν οὐδὲ γράμματα,
ἵνα μὴ κακουργῶν συνέγραφ' ἡμῖν τὸν λόγον.
ΒΔ. ἄκουσον, ὦ δαιμόνιέ, μου τῶν μαρτύρων.
ἀνάβηθι, τυρόκνηστι, καὶ λέξον μέγα·
σὺ γὰρ ταμιεύουσ' ἔτυχες. ἀπόκριναι σαφῶς
εἰ μὴ κατέκνησας τοῖς στρατιώταις ἅλαβες.
φησὶ κατακνῆσαι. ΦΙ. νὴ Δί' ἀλλὰ ψεύδεται.
ΒΔ. ὦ δαιμόνι', ἐλέει ταλαιπωρούμενον.

951. ὑπερ ἀποκρίνεσθαι Γ. non B.C.R.S.V.

952. ἀγαθὸς γάρ ἐστι καὶ διώκει] Legendum suspicor ἀγαθὸς γάρ ἐστιν ἀποδιώκειν. Cf. 904. ἀγαθός γ' ὑλακτεῖν &c. Sed v. 954. ἄριστός ἐστι τῶν νυνὶ κυνῶν. 958.

957. ὅτι σοῦ libri et vulg. Dind. Hirsch. Bergk. ὅ τι; σοῦ Dobr. Richt. Mein. (Recte, opinor. Cf. ad Eq. 742.) οὐ σοῦ (interrogative) conj. Mein.

958. ἐστὶ V.

959. σύγγνωθι B.C.R.S.V. Ald. ξύγγνωθι Br. tacite. Dind. &c.

961. ἐνέγραφ' libri et vulg. Dind. ἔγραφεν Cobet. V. L. p. 104. Mein. Probabilis correctio. Quid sit λόγον ἐγγράφειν in tali re non video. Scripserat, ni fallor, συνέγραφ'. Vel ἔγραφε τόνδε τὸν λόγον (*hanc defensionem*). "Γράφω duplici sensu dictum est, et scribendi et defendendi. Dicunt γράφειν τὸν λόγον, γράφεσθαι τὴν γραφήν." RICHT.

962. κυδ. praef. R. θε. Ald. (Et sic, ni fallor, B.C.S.) ΒΔ. Br. Dind. &c. "Haec omnia (962-6) sunt Bdelycleonis συνηγοροῦντος τῷ Λάβητι." TYRWHITT. δαιμόνιέ μου R.S.V. (-ιε μου V. s. Cob.) Γ. Bekk. Dind. &c. δαιμόνι', ἐμοῦ B.C. vulg. δαιμόνιέ, μοι Reisk.

965. κατέκνησας B.C.R. vulg. κατέκνισας S.V. ἅλαβες B. ἃ 'λαβες C.

966. Βδ. φησὶ . . . Ald. Correxit Br. Et sic, ni fallor, libri. φησί] Qu. φησίν. Quod tamen non necessarium. κατακνῆσαι B.C.R. vulg. κατακνίσαι S.V. νὴ Δί', ἀλλὰ . . . vulg. Dind. &c. Malim νὴ Δί' ἀλλὰ . . . Et sic Mein. Richt. Cf. ad 912.

967. ὦ δαιμόνι'] ὦ δαῖμον conj. Bentl. prob. Mein., ut Lycus heros intelligatur cujus simulacrum in scenam allatum esse constat ex v. 819. ἐλέει libri et vulg. ἔλει Dind. olim. prob. Mein. ("recte, ut videtur"). Fritzch. ad Thesm. 1063. Quae forma mihi quidem admodum incerta videtur. Quanquam

οὗτος γὰρ ὁ Λάβης καὶ τὰ τραχήλι' ἐσθίει
καὶ τὰς ἀκάνθας, κοὐδέποτ' ἐν ταὐτῷ μένει.
ὁ δ' ἕτερος οἷός ἐστιν οἰκουρὸς μόνον.
αὐτοῦ μένων γὰρ ἅττ' ἂν εἴσω τις φέρῃ,
τούτων μεταιτεῖ τὸ μέρος· εἰ δὲ μή, δάκνει.
ΦΙ. αἰβοῖ, τί ποτ' ἐστὶ τὸ κακὸν ὅτι μαλάττομαι;
καινόν τι περιβαίνει με κἀναπείθομαι.

conferri potest ἐλεινὸς pro ἐλεεινὸς, ἐλήμων pro ἐλεήμων, αἰκὴς pro ἀεικὴς, δῇ pro δέῃ, &c. ex Atticorum usu. ἐλέησον metro defenditur in Soph. Phil. 501. Scripserat forsan ὦ τᾶν (vel ὠγάθ'), ἐλεεῖτε (cf. 922. 927. 975.) τοὺς ταλαιπωρουμένους. Locum fortasse corrupit grammaticus aliquis, quem offendisset plurale ἐλεεῖτε. Vel ὦ τᾶν, ἐλέησον τοὺς . . . Vel ὦ τᾶν, ἐλέει μοι τοὺς . . . (Cf. Eq. 1036. ὦ τᾶν, ἄκουσον.) Vel ἐλέησον, ὦ τᾶν, τοὺς . . . Vel ἴθι νυν ἐλέησον τοὺς . . . (Cf. 975. ἴθ', ἀντιβολῶ σ', οἰκτείρατ' αὐτὸν, ὦ πάτερ. Pac. 400. ἴθ', ἀντιβολῶ σ', ἐλέησον αὐτῶν τὴν ὄπα.) Sed ὦ δαιμόνι' compellat patrem Bdelycleo infra 998. ταλαιπωρουμένους B. Ald. Br. Bekk. Dind. Hirsch. τοὺς ταλ. C.R.S.V.Γ. Bergk. Mein. Richt. Hanov. Exerc. p. 159. Qu. ταλαιπωρούμενον (sub. αὐτὸν, coll. 882), vel ταλαίπωρον κύνα.

968. καὶ τραχήλι' libri et vulg. καὶ τὰ τραχήλι' Hirsch. Mein. Richt. Qu. τά τε τραχήλι', vel καὶ τὰ τραχήλι'.

970. φιλ. praef. in R. οἷος] οὗτος Reisk. οἷός τ' Kiehl. (Mnem.) οὗτος et ipse conjeceram. οἰκουρὸς vulg. Dind. Richt. οἰκουρεῖν Br. (in notis) Hirsch. Mein. Kiehl. μόνον B.C.R. vulg. μόνος φύλαξ (gl.) S.V.

972. τὸ μέρος] Fort. τι μέρος. Sed bene habet vulgata.

973. αἰβοῖ, τί (τί τὸ R.V.) κακόν ποτ' ἔσθ' ὅτῳ (ὅτω V.) vulg. Dind. Hirsch. Bergk. αἰβοῖ· | τουτὶ τὸ κακὸν τί ποτ' ἔσθ' ὅτῳ Reisig. Conj. p. 50. ΦΙ. αἰβοῖ. ΒΔ. τί τὸ κακόν; ΦΙ. ἔσθ' ὅτῳ μαλάττομαι. (sic) Hamaker. Mein. Articulo opus est. Cf. 1136. τουτὶ τὸ κακὸν τί ἐστι πρὸς πάντων θεῶν; Ach. 156. Pac. 181. Av. 1207. Reponendum forsan αἰβοῖ· | τί ποτ' ἐστὶ τὸ κακὸν τοῦθ' ὅτῳ μαλάττομαι; Vel αἰβοῖ· | τουτὶ τὸ κακὸν τί ποτ' ἔσθ' ὅτῳ (vel ἐστὶν ὅτι) . . .; Vel αἰβοῖ· | τί τὸ κακόν ἐστι τοῦθ' . . .; Cf. ad Nub. 1260. ἔα· | τίς οὑτοσί ποτ' ἔσθ' ὁ θρηνῶν; Eq. 183. οἴμοι, τί ποτ' ἔσθ' ὅτι σαυτὸν οὐ φῂς ἄξιον; Αἰβοῖ extra versum est Av. 1342. Pac. 1291. (Cf. ad 903.) Quod si extra versum non debet esse αἰβοῖ, legendum forsan αἰβοῖ· τί ποτ' ἐστὶ τὸ κακὸν ᾧ (vel ὅτι) . . .; Vel αἰβοῖ· τί τὸ κακόν ἐστιν ᾧ (ὅτι) . . . Cf. Pac. 15. αἰβοῖ, φέρ' ἄλλην χἀτέραν μοι χἀτέραν. Supra 713. οἴμοι, τί ποθ' ὥσπερ νάρκη μου κατὰ τῆς χειρὸς καταχεῖται; (Ubi tamen vide annot.) Pro vulgato ὅτῳ (ὅτω V.) reponendum suspicor aut ᾧ aut potius ὅτι. Cf. Eq. 183. αἰβοῖ extra versum habet R. τί τὸ κακόν ποτ' ἔσθ' R.S.V. τί κακόν ποτ' ἔσθ' B.C. vulg. τί τὸ κακόν ἔσθ' Richt. τί δή ποτ' ἔσθ' conj. Bergk. τὸ κακὸν τί ποτ' ἔσθ' Hirschig. Ann. Crit. p. 73, coll. 1136. τουτὶ τὸ κακὸν τί ἐστι πρὸς πάντων θεῶν;

974. κακόν τι vulg. Qu. καινόν τι, vel μαλακόν τι, vel πάθος τι. περιβαίνει B.S. vulg. Dind. Mein. περβαίνει V. παραβαίνει C. περιμένει R. Inv. Both. Bergk. Richt. περισαίνει conj. Mein. Quod et ipse conjeceram, ut et περιέρπει et περιτρέχει. Vulgata mihi nonnihil suspecta est.

ΒΔ. ἴθ, ἀντιβολῶ σ', οἰκτείρατ' αὐτὸν, ὦ πάτερ,
καὶ μὴ διαφθείρητε. ποῦ τὰ παιδία;
ἀναβαίνετ', ὦ πονηρὰ, καὶ κνυζούμενα
αἰτεῖσθε κἀντιβολεῖτε καὶ δακρύετε.
ΦΙ. κατάβα κατάβα κατάβα κατάβα. ΒΔ. καταβήσομαι.
καίτοι τὸ κατάβα τοῦτο πολλοὺς δὴ πάνυ
ἐξηπάτηκεν. ἀτὰρ ὅμως καταβήσομαι.
ΦΙ. ἐς κόρακας. ὡς οὐκ ἀγαθόν ἐστι τὸ ῥοφεῖν.
ἐγὼ γὰρ ἐπεδάκρυσα νῦν γνώμην ἐμὴν
οὐδέν ποτ' ἀλλ' ἢ τῆς φακῆς ἐμπλήμενος.
ΒΔ. οὐκοῦν ἀποφεύγει δῆτα; ΦΙ. χαλεπὸν εἰδέναι.
ΒΔ. ἴθ', ὦ πατρίδιον, ἐπὶ τὰ βελτίω τρέπου.
τηνδὶ λαβὼν τὴν ψῆφον ἐπὶ τὸν ὕστερον
μύσας παρᾷξον κἀπόλυσον, ὦ πάτερ.
ΦΙ. οὐ δῆτα· κιθαρίζειν γὰρ οὐκ ἐπίσταμαι.
ΒΔ. φέρε νύν σε τηδὶ τὴν ταχίστην περιάγω.
ΦΙ. ὅδ' ἔσθ' ὁ πρότερος; ΒΔ. οὗτος. ΦΙ. αὕτη 'ντευθενί.

975. ἴθ'] Qu. ἴτ', plurale ut οἰκτείρατ'.

977. πόνηρα B.C.R.S.V. vulg. πονηρὰ Dind. &c. κνυζούμενα B.C.R.S.V. κνυζόμενα Ald. κνυζώμενα H. Steph. in Lex. II. 283. Bentl. Eadem discrepantia est in Soph. Oed. C. 1571, ubi κνυζεῖσθαι, ut magis Atticum quam κνυζᾶσθαι, revocavit Elmsleius. Cf. Soph. Fr. 646. κυνηδὸν ἐξέκραξαν ὡς κνυζούμενοι (ita Blomf.).

978. αἰτεῖτε (αἰτεῖ R.) libri et vulg. αἰτεῖσθε Hirsch. Mein. Richt. Dind. conj. Bergk. "*Supplicare* dicunt αἰτεῖσθαι: nunquam, puto, αἰτεῖν." HIRSCH.

979. ΦΙ.] ὁ γέρων ἢ ὁ αὐτὸς R. κατάβα quater B.Δ. Flor. Chr. Br. tacite. ter C.R.S.V. Ald. Qu. κατάβα κατάβα κατάβα. ΒΔ. καταβήσομ', ὦ πάτερ (cf. 975). ΒΔ. B.V.(?) ὁ παῖς R.

980-1. καίτοι . . . καταβ. om. S. 980. δή] ἤδη V.

981. ἐξηπάτηκεν vulg. Dind. Richt. ἐξηπάτησεν Cobet. (Mnem.) Mein.

982. ἐς κόρακας B.S. ἠσκόρακας R.V. ἢ 's κόρακας Γ. Cf. ad 852.

983. ἀπεδάκρυσα vulg. Dind. ἐπεδάκρυσα Hirschig. Mein. Fortasse recte. Cf. 882. κἀπιδακρύειν ἀντιβολούντων. Plut. Syll. 30. πρὸς οἶκτον ὑγρὸς ὥστε ῥᾳδίως ἐπιδακρύειν. γνώμην ἐμήν] γνώμην γ' ἐμὴν Mein. Quod et ipse conjeceram. Cf. ad Pac. 232. Eccl. 153.

984. οὐδέν ποτέ γ' B.C.R.S.V.Γ.Δ. Bekk. οὐδέν ποτ' R. (s. Dind.) Inv. Elmsl. ad Ach. 127. Dind. &c. οὐδέποτέ γ' Ald. ἀλλ' ἢ] εἰ μὴ Dobr. ἐμπλήμενος R.S. Inv. Dind. &c. ἐμπλημένος V. (s. Cob.) ἐμπληγμένος Γ. ἐμπεπλησμένος C. πεπλησμένος B. Ald. Cf. 1127.

985. οὔκουν B.C.R.V. vulg. οὐκοῦν S. Gr. Hoc praestat. ἀποφεύγει B.C.R.S.V. Reisk. Br. ἀποφεύγῃ Ald.

987. τὴν δὲ V. 988. πάραξον B. παράϊξον C.

990. τηδὶ B.C.R. Inv. Bekk. Dind. &c. τῇ δὲ V. (s. Cob.) τηνδὶ S. Ald. Br.

991. ὅδ' ἔσθ' B.C.R. ἰδέσθ' S. ἴδεσθ' V. Φι. αὕτη] Φι. om. C.

ΒΔ. ἐξηπάτηται κἀπολέλυκεν οὐχ ἑκών.
ΦΙ. φέρ' ἐξεράσω. ΒΔ. πῶς ἄρ' ἠγωνίσμεθα;
ΦΙ. δείξειν ἔοικεν. ΒΔ. ἐκπέφευγας, ὦ Λάβης.
πάτερ πάτερ, τί πέπονθας; οἴμοι, ποῦ 'σθ' ὕδωρ;
ἔπαιρε σαυτόν. ΦΙ. εἰπέ νυν ἐκεῖνό μοι,
ὄντως ἀπέφυγε; ΒΔ. νὴ Δί'. ΦΙ. οὐδέν εἰμ' ἄρα.
ΒΔ. μὴ φροντίσῃς, ὦ δαιμόνι', ἀλλ' ἀνίστασο.
ΦΙ. πῶς οὖν ἐμαυτῷ δῆτ' ἐγὼ ξυνείσομαι
φεύγοντ' ἀπολύσας ἄνδρα; τί ποτε πείσομαι;
ἀλλ', ὦ πολυτίμητοι θεοί, ξύγγνωτέ μοι·
ἄκων γὰρ αὔτ' ἔδρασα κοὐ τοὐμοῦ τρόπου.
ΒΔ. καὶ μηδὲν ἀγανάκτει γ'. ἐγὼ γάρ σ', ὦ πάτερ,
θρέψω καλῶς, ἄγων μετ' ἐμαυτοῦ πανταχοῖ,

αὕτη 'ντευθενὶ B.C.R.V. vulg. *αὐτὴ'ντευθενὶ* (sic) S. *αὕτη 'νταῦθ' ἔνι* Dobr. Hirsch. Bergk. Mein. Richt. Dind. Idem ipse conjeceram. Cf. Nub. 211. *ἐνταῦθ' ἔνεισιν.* Av. 989. *καὶ ταῦτ' ἔνεστ' ἐνταῦθα;* Eq. 127. Soph. Oed. R. 598. *ἐνταῦθ'* (*ἐντεῦθ'* P.) *ἔνι.* Sed v. Lys. 92. *ταυταγὶ τἀντευθενί.* Eccl. 169. *κάθησ' ἐντευθενί.* Qu. *ἐνταῦθ'* (*ἐνθάδ'*) *αὑτηί.*

992. ΒΔ. om. C.

993. ΦΙ. *φέρ' . . . ἠγωνίσμεθα;* vulg. ΦΙ. *φέρ' . . .* ΒΔ. *πῶς . . .;* Green. Verba *φέρ' ἐξεράσω* Bdelycleoni, thesmothetae personam gerenti, reliqua Philocleoni tribuunt Dobr. Bergk. Mein. Richt. Dind. Vide Add. *ἆρ'* B.C.R.S.V. Inv. Bekk. Dind. recc. *γὰρ* Ald. Br. *ἠτονίσμεθα* S.

994. ΦΙ. *δείξειν . . .* ΒΔ. *ἐκπέφευγας . . .* Gr. Vulgo haec omnia Bdelycleonis sunt. *ἔοικεν* B.C.S.V. *ἔοικας* R.

995. ΦΙ. *οἴμοι . . .* C.R.V. vulg. Bergk. Richt. Mein. Bdelycleoni haec continuant B.S.(?) Scal. Dobr. Dind. Weis. Hirsch. Idem suspicatur Mein. Recte.

996. ΒΔ. praef. C.R.V. vulg. om. B.S.(?) Scal. &c. *ἔπαιρε* S.V. Dind. Hirsch. Bergk. Mein. *ἔπαιρ' ἔπαιρε* B.C.R. vulg. Bekk. Richt. *εἰπὲ νῦν ἐκεῖνό μοι* C.R.S.V.Γ. *εἰπὲ 'κεῖνό μοι* B.Δ. Ald. *εἴπ' ἐκεῖνό μοι* P. Kust. Br. Bekk. Richt. *εἰπέ νυν ἐκεῖνό μοι* Dind. Hirsch. Bergk. Mein.

997. *ἀπέφυγε* B.C.S.V. vulg. *πέφευγε* R. Junt. Richt. *ἀπέφυγεν* Dind. *πέφευγεν* Mein. Male.

999. *ἐμαυτῷ*] *με ταυτὸ* S. *με ταυτῶ* V. *τοῦτ'* vulg. Correxi *δῆτ'*. Cf. tamen 89. *ἐρᾷ τε τούτου, τοῦ δικάζειν.* *ξυνείσομαι* (supr. *η*) B.

1002. *αὔτ'*] *αὐτ'* S. *κοὐ* C.R.S.V. *καὶ* B. (supr. *κοὐ*). Δ. *τοὐμοῦ τρόπου*] An *τοὐμοῦ 'κ τρόπου*? Ita Th. 93. *τὸ πρᾶγμα κομψὸν καὶ σφόδρ' ἐκ τοῦ σοῦ τρόπου.* Sed cf. Th. 574. *φίλαι γυναῖκες, ξυγγενεῖς τοὐμοῦ τρόπου.* Pl. 246. *ἐγὼ δὲ τούτου τοῦ τρόπου πώς εἰμ' ἀεί.* Eupol. II. 477. *βληχητὰ τέκνα κοὐδαμῶς τοὐμοῦ τρόπου.* Soph. Aj. 481. *οὐδεὶς ἐρεῖ ποθ' ὡς ὑπόβλητον λόγον, | Αἴας, ἔλεξας, ἀλλὰ τῆς σαυτοῦ φρενός.*

1004. *πανταχοῦ* B.C.R.S.V. Ald. Bergk. Richt. *πανταχοῖ* Br. Bekk. Dind. Mein. Πανταχοῖ legitur Lys. 1230. (*πανταχοῦ* libri.) Dem. p. 46, 29. *πανταχοῖ μᾶλλον οἴχεται πλέων.* Sed *πανταχόσε* Thuc. VII. 42. Plat. Rep. 539 E. &c. Cf. ad 1188. Lys. 1230.

ἐπὶ δεῖπνον, ἐς ξυμπόσιον, ἐπὶ θεωρίαν,
ὥσθ' ἡδέως διάγειν σε τὸν λοιπὸν χρόνον·
κοὐκ ἐγχανεῖταί σ' ἐξαπατῶν Ὑπέρβολος.
ἀλλ' εἰσίωμεν. ΦΙ. ταῦτά νυν, εἴπερ δοκεῖ.
ΧΟ. ἀλλ' ἴτε χαίροντες ὅποι βούλεσθ'.
ὑμεῖς δὲ τέως, ὦ μυριάδες
ἀναρίθμητοι, νῦν τὰ μέλλοντ' εὖ λέγεσθαι
μὴ πέσῃ φαύλως χαμᾶζ' ἐξευλαβεῖσθε.
τοῦτο γὰρ σκαιῶν θεατῶν
ἐστι πάσχειν, κοὐ πρὸς ὑμῶν.

1005. εἰς libri et vulg. ἐς Dind. &c. Qu. ἐπὶ συμπόσιον.

1007. σ' ἐξαπατῶν vulg. Malim σοὐξαπατῶν (σοι ἐξαπατῶν). Cf. 1349. ἐξαπατήσεις κἀγχανεῖ τούτῳ μέγα. 721. καὶ μὴ τούτους | ἐγχάσκειν σοι στομφάζοντας. Eq. 1313. οὐ γὰρ . . . ἐγχανεῖται τῇ πόλει. Cf. ad Ach. 846. Lys. 297. Vulgata tamen defendi potest ex Ach. 221. μὴ γὰρ ἐγχάνοι ποτὲ . . . ἐκφυγὼν Ἀχαρνέας.

1008. νῦν C.R.S.V.Γ. Bekk. νῦν γ' B. Crat. Kust. Br. νυν γ' Ald. νυν Dind. recc.

1009. βούολισθ' S.

1010. δὲ τέως R.S.V. Inv. Bekk. Dind. &c. δὲ ταχέως C.Γ. δέ γε ταχέως B. Ald. ταχέως Br. ὦ μυριάδες] Ultima in μυριάδες anceps habenda est propter metri mutationem.

1011 sqq. Alii aliter haec distribuunt. ἀναρίθμητοι, | νῦν μὲν . . . χαμᾶζ' | εὐλαβεῖσθε Dind. ἀναρίθμητοι, | νῦν μὲν . . . λέγεσθαι | μὴ . . . εὐλαβεῖσθε Hirsch. ἀναρίθμητοι, | νῦν . . . λέγεσθαι | μὴ . . . χαμᾶζ' | εὐλαβεῖσθε Bergk. ἀναρίθμητοι . . . λέγεσθαι | μὴ . . . χαμᾶζ' | εὐλαβεῖσθε . . . σκαι-|ῶν . . . πάσχειν, | κοὐ πρὸς ὑμῶν Mein. νῦν μὲν libri et vulg. Dind. Hirsch. Bergk. Richt. νῦν Burges. in Diar. Class. Lond. XXXI. p. 37. Dind. in ann. Mein. Bergk. Comm. p. 181. Delenda haud dubie est particula, quae hic ineptissima est. Legendum et distribuendum fortasse sic: νῦν τὰ μέλλοντ' εὖ λέγεσθαι | μὴ πέσῃ φαύλως χαμᾶζ' ἐξ-|ευλαβεῖσθε. Et sic volunt Dind. Bergk.

1012. εὐλαβεῖσθε] Fortasse ἐξευλαβεῖσθε scribendum. Metra autem sic sunt constituenda, ut in libris factum est, ἀναρίθμητοι. νῦν τὰ μέλλοντ' εὖ λέγεσθαι | μὴ πέσῃ φαύλως χαμᾶζ' ἐξευλαβεῖσθε. DIND. Idem proponit Bergk. Recte, opinor. χαμᾶζ' B.C.R.V. χαμάζεν (ut vid.) S. εὐλαβεῖσθε B.C.R. vulg. εὐλαβεῖσθαι S.V. ἐξευλαβεῖσθε conj. Dind. Bergk. Recte, opinor. Cf. Aesch. Prom. Sol. 181. ἐξευλαβοῦ δὲ μή σε προσβάλῃ στόμα | πέμφιξ. Eur. Andr. 645. τοῦτο δ' οἱ σοφοὶ βροτῶν | ἐξευλαβοῦνται. Apud comicos tamen nusquam legitur hoc compositum. Tentabam praeterea χαμαὶ μάλ' εὐλαβεῖσθε. (Facile excidere potuisset μάλ' post -μαί.) Vel χαμαὶ δεῖ εὐλαβεῖσθαι (S.V.).

1014. ἐστὶ C. ἔστι B. πρὸς ὑμῶν] οὐδαμῶς add. Herm. prob. Mein.

νῦν αὖτε λεῴ πρόσχετε τὸν νοῦν, εἴπερ καθαρόν τι φιλεῖτε·
μέμψασθαι γὰρ τοῖσι θεαταῖς ὁ ποιητὴς νῦν ἐπιθυμεῖ.
ἀδικεῖσθαι γάρ φησιν πρότερος, πόλλ' αὐτοὺς εὖ πεποιηκώς,
τὰ μὲν οὐ φανερῶς, ἀλλ' ἐπικουρῶν κρύβδην ἑτέροισι ποιηταῖς,
μιμησάμενος τὴν Εὐρυκλέους μαντείαν καὶ διάνοιαν,
εἰς ἀλλοτρίας γαστέρας ἐνδὺς κωμῳδικὰ πολλὰ διδάσκων·
μετὰ τοῦτο δὲ καὶ φανερῶς, ἤδη κινδυνεύων καθ' ἑαυτόν,
οὐκ ἀλλοτρίων ἀλλ' οἰκείων Μουσῶν στόμαθ' ἡνιοχήσας.
ἀρθεὶς δὲ μέγας καὶ τιμηθεὶς ὡς οὐδεὶς πώποτ' ἐν ὑμῖν
οὐκ ἐκτελέσαι φησὶν ἐπαρθεὶς οὐδ' ὀγκῶσαι τὸ φρόνημα,
οὐδὲ παλαίστρας περικωμάζειν πειρῶν· οὐδ', εἴ τις ἐραστής,

1015. *νῦν αὖτε*] *νῦν κλῦτε* Reisk. Suspectum et mihi ipsi est *αὖτε* in hoc loco. Legitur semel praeterea apud nostrum in loco lyrico, Nub. 595. *ἀμφί μοι αὖτε, Φοῖβ' ἄναξ*, &c. Semel etiam apud reliquos comicos. Cratin. ap. schol. Plat. p. 373 Bekk. *οἱ δ' αὖθ' ἡμεῖς, ὡς ὁ παλαιὸς | λόγος, αὐτομάτους ἀγαθοὺς ἰέναι | κομψῶν ἐπὶ δαῖτα θεατῶν.* Qui locus, ex parabasi petitus, ut videtur, emendatione forsan eget. *πρόσχετε* B.Δ. Bentl. Pors. (Praef. Hec. p. l.) Hirsch. Mein. Richt. *προσέχετε* C.R.S.V. Ald. Br. Bekk. Bergk. *πρόσσχετε* Dind. Est autem pro *προσέχετε*, sermone vulgari pronuntiatum *πρόσχετε* (ut *διὰ* pronuntiatur *ζὰ* Nub. 916), nisi quidem plene scribendum *προσέχετε*. Noli putare aoristum esse, quod *πρόσσχετε* scribendum foret. Praesenti semper in hac formula utebantur, *πρόσεχε πρόσχετε*, nunquam aoristo *πρόσσχες πρόσσχετε*.

1017. *φησιν* B.C.S. *φησι* R.V. *πρότερος*] *πρότερον* malit Hirschig. Ann. Crit. p. 73, non enim de altero quodam cogitandum esse, ut in v. 15.

1020. *εἰς*] *εἴς τ'* conj. Dobr. *χέασθαι* vulg. *χέσασθαι* conj. Reisk. Corrigendum suspicor *διδάξας* vel potius *διδάσκων*, vel *δὴ εἰπών*, vel *πόλλ' ἔπη εἰπών*. Requiritur enim plane participium aliquod (ut *κινδυνεύων* 1021), non infinitivus. Nisi forte versus interpolatus est.

1022. *στόμαθ'*] An *ἅρμ'*?

1024. *ἐκτελέσαι*] Reiskio jam suspectum. Qu. *ἐκκαλέσαι* (*τὸ φρόνημα*). Vel *ἐκγελάσαι*. Vide etiam Add. *ὀγκῶσαι*] Qu. *ὠγκῶσθαι*. Cf. ad Ran. 703. *εἰ δὲ τοῦτ' ὀγκωσόμεσθα* &c.

1025. *περικωμάζει* (supr. *ν*) B. *περιιὼν* B.C.R.S. Ald. *περιὼν* V. (s. Cob.) *παριὼν* Bentl. Pors. *πειρῶν* Br. Bekk. Dind. Hirsch. Bergk. Mein. Richt. "Vulgo legitur *περιϊὼν*, metro repugnante, nec valde bona sententia. Quid enim addit participium illud praecedenti verbo? Quid differunt *περιϊέναι περικωμάζων* et *περικωμάζειν περιϊών*? Inepta *ταυτολογία* est. Certissimam emendationem ipse suppeditavit comicus in parabasi Pacis, v. 762. *καὶ γὰρ πρότερον πράξας κατὰ νοῦν οὐχὶ παλαίστρας περινοστῶν | παῖδας ἐπείρων, ἀλλ' ἀράμενος τὴν σκευὴν εὐθὺς ἐχώρουν.*" BR. De *περιὼν* pro *περιιὼν* v. Porson. et Dobr. ad h. l. Ahrens Dor. p. 357. Grammat. Crameri IV. p. 309, 21. *καὶ περιέναι τετρασυλλάβως.* Platon. com. II. 685. *καὶ περιὼν* (libri *περιϊὼν*) *ἅμα*|

κωμῳδεῖσθαι παιδίχ' ἑαυτοῦ μισῶν ἔσπευδε πρὸς αὐτὸν,
οὐδενὶ πώποτέ φησι πιθέσθαι, γνώμην τιν' ἔχων ἐπιεικῆ,
ἵνα τὰς Μούσας αἷσιν χρῆται μὴ προαγωγοὺς ἀποφήνῃ·
οὐδ', ὅτε πρώτιστ' ἦρξε διδάσκειν, ἀνθρωπίσκοις ἐπιθέσθαι,
ἀλλ' Ἡρακλέους ὀργήν τιν' ἔχων τοῖσι μεγίστοις ἐπιχειρεῖν,

τιλτὸν τάριχος ἐπριάμην τοῖς οἰκέταις. Antiphan. Athen. 66 D. νῦν δεῖ περιιόντα (περιόντα Dind.) πέπερι καὶ καρπὸν βλίτου | ζητεῖν. Dem. p. 181. περιιόντες (περιόντες S.). p. 792. περιιὼν (al. περιών). p. 578. περιιὼν (al. περιών). p. 647. περιιόντα (περιόντα F.S.Y.O.). p. 1308. περιιὼν (περιὼν F.S.Q.). p. 1341. περιιόντες (al. περιόντες). p. 1484. περιιὼν (al. περιών). Hyperid. pro Lyc. c. 2. προσκαλεῖται μὲν περιιὼν (περιὼν cod.) πάντας ἀνθρώπους. Hes. Th. 678. περίαχε (pro περιίαχε). Pherecrat. II. 342. καὶ τὰς βαλάνους καὶ τὰς ἀκύλους καὶ τὰς ἀχράδας περιόντας (περινοστεῖ?). Phrynich. Athen. 165 C. Plat. Poll. VI. 49. Similiter περιστίαρχος Eccl. 128, Πολύμνια Hes. Th. 78. Sed verissime hic πειρῶν restituit Brunck.

1026. ἑαυτοῦ] An ἑαυτόν? V. schol. ad v. praec. I. e. κωμῳδεῖσθαι ὡς παιδικά. Et qu. an aliud legerit pro ἐραστής. DOBR. Schol: οὐδέ, εἴ προσῆλθεν αὐτῷ τις ἐξώλης (sic) ἀναστραφεὶς καὶ δεόμενος μὴ κωμῳδεῖσθαι, ἐμαλάττετο οὐδὲ ἐπείθετο. Quae corrupta videntur. ἔσπευδε B.C. vulg. Bergk. Mein. Richt. Dind. ἔσπευσε R.S.V.Γ. Hirsch. An σπεύσειε? Cf. ad 245.

1027. φησι B.C.R.S. φησὶ V. φησιν Ald. πιθέσθαι B Γ.Δ. Reisk. Pors. Br. &c. πείθεσθαι C.S.V. Ald. πεύθεσθαι R.

1028. αἷσι B.C. Ald. αἷσειν R. αἷσιν recte S.V. Br. &c.

1029. delet Cobetus. Totum hunc locum 1029-42 spurium judicat Hamaker in Mnem. III. 241 f. πρῶτόν γ' B.C. Kust. Br. πρῶτον R.S.V. Ald. πρῶτον ὅδ' conj. Pors. Corrigendum, ni fallor, πρώτιστ'. Et sic Mein. Parum hic convenit particula γε. ἦρξε] φησι S.V. ἦρξε διδάσκειν] ἤρξατο ποιεῖν sine causa Hirschig. Ann. Crit. p. 73, coll. Thesm. 174. ἡνίκ' ἠρχόμην ποιεῖν. Aliud est ποιεῖν, aliud διδάσκειν. ἀνθρώποις φήσ' B.C.R. (φησὶ πιθ.) V. vulg. ἀνθρώποις φ' (sic) S. ἀνθρωπίσκοις Both. Conz. Hirsch. Dind. (Ne pereat antithesis, quam τοῖσι μεγίστοις cum alia voce facere debeat.) ἀνδραρίοις φήσ' Mein. τοῖς ἰδιώταις vel ἀνθρωπίσκοις conj. Richt. (Ex Pac. 751. οὐκ ἰδιώτας ἀνθρωπίσκους κωμῳδῶν οὐδὲ γυναῖκας.) νάννοισίν φησ' conj. Mein. Fr. Com. II. 919. (Cf. Fr. 134. et Pac. 786. ναννοφυεῖς.) Holdenus ἀνθρώποις hic cum contemptu dictum opponi τοῖσι μεγίστοις censet, prorsus ut ἄνδρες et ἄνθρωποι in Xenoph. Hier. 7, 3. ἄνδρες καὶ οὐκέτι ἄνθρωποι μόνον νομιζόμενοι. et Herodot. 7, 210. πολλοὶ μὲν ἄνθρωποι, ὀλίγοι δὲ ἄνδρες. Sed opponi potius inter se videntur homines et monstra (τέρατα v. 1036), quorum noster, ut Hercules alter, debellatorem se fuisse jactet Atticaeque regionis purgatorem (καθαρτήν). Quare nil temere mutandum videtur. Quanquam fatendum est apte inter se opponi ἀνθρωπίσκοις et τοῖσι μεγίστοις. φησ' ἐπιθέσθαι] φησὶ πιθέσθαι R. Scilicet e v. 1027.

1030. τοῖσι B.C.S. τοῖς R.V.Γ. ἐπιχειρεῖν] ἐπεχείρει (coll. Pac. 752) Mein.

θρασέως ξυστὰς εὐθὺς ἀπ' ἀρχῆς αὐτῷ τῷ καρχαρόδοντι,
οὗ δεινόταται μὲν ἀπ' ὀφθαλμῶν Κύννης ἀκτῖνες ἔλαμπον,
ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωξομένων ἐλιχμῶντο
περὶ τὴν κεφαλήν, φωνὴν δ' εἶχεν χαράδρας ὄλεθρον τετοκυίας,
φώκης δ' ὀσμήν, Λαμίας δ' ὄρχεις ἀπλύτους, πρωκτὸν δὲ καμήλου.
τοιοῦτον ἰδὼν τέρας οὔ φησιν δείσας καταδωροδοκῆσαι,
ἀλλ' ὑπὲρ ὑμῶν ἔτι καὶ νυνὶ πολεμεῖν. φησὶν δὲ μετ' αὐτὸν
τοῖς ἠπιάλοις ἐπιχειρῆσαι πέρυσιν καὶ τοῖς πυρετοῖσιν,
οἳ τοὺς πατέρας τ' ἦγχον νύκτωρ καὶ τοὺς πάππους ἀπέπνιγον
κατακλινομένους ἐπὶ ταῖς κοίταις, ἐπὶ τοῖσί τ' ἀπράγμοσιν ὑμῶν
ἀντωμοσίας καὶ προσκλήσεις καὶ μαρτυρίας ξυνεκόλλων,

1031. *αὐτῷ*] "Fort. *πρῶτον*. V. Pac. 754." BENTL.

1032. *οὗ* vulg. *ᾧ* Hecker. in Mnem. I. 427. *δεινόταται* vulg. *δεινότεραι* probabiliter Kiehl. (Mnem. l. l.) *Κύννης*] *κυνὸς ὡς* Bentl., qui, "Illud *Κύννης* est ineptum; qualis enim meretrix tam trucibus oculis?" *Κύννας* (ab nom. *Κύννᾶ*) reponi vult Cobetus V. L. p. 202, coll. Polyaen. 8, 60. *Κυννάνη* [i. e. *Κύννα*, supr. *νη*] *Φιλίππου θυγάτηρ*. Confer nomen *Φίλιννα*.

1033. *οἰμωξομένων* C.R.S.V. Bergl. Reisk. Br. *οἰμωζομένων* B. Ald. Cf. ad Pac. 756. *κεφαλαί*] *γλῶτται* Bentleius hic et in Pac. 756. prob. Mein. "Frustra," ait Dind. Certe vix proprie *λιχμᾶσθαι* possunt *κεφαλαί*. Porro vix placet *κεφαλαὶ . . . ἐλιχμῶντο περὶ τὴν κεφαλήν*. Vera tamen videtur vulgata. Cf. 45. *ὀλᾷς; Θέωλος τὴν κεφαλὴν κόλακος ἔχει.*

1034. *εἶχε* B.C.

1035. *Λαμίας δ'* B.C.S.V. vulg. Richt. *δ'* om. R. Mein. Dind. *λαμίδας* (corrupte pro *λαμίας δ'*) S. Postulatur articulus. Legendum videtur *φώκης δ' ὀσμὴν ἁλίας* (aut *ὀλοὰν*), *ὄρχεις δ' ἀπλύτους* &c. Cf. ad Pac. 758.

1036. *καταδωροδοκήσειν* Γ.

1037. *ὑμῶν* B.C.V.Δ. Bentl. Reisk. Br. &c. *ἡμῶν* R.S. Ald. *πολεμεῖ* vulg. Malim *πολεμεῖν* (sc. *φησί*). Cf. ad 1025. *φησίν τε* vulg. *τε* om. R. Malim *φησὶν δέ*. Qu. *κἄπειτα* (vel *καί φησι*) *μετ' αὐτὸν*, vel *πολεμεῖν φησιν, μετὰ δ' αὐτόν*. *αὐτοῦ* libri et vulg. Bergk. Richt. Dind. *αὐτὸν* (Cleonem) Bentl. Dobr. Hirsch. Mein. Cf. schol. "Quod probabilius videtur quam *μετ' αὐτό*." (Dind. olim.)

1039. *τ'* om. S. Quod ad v. 1040 pertinere suspicor.

1040. *κατακλινόμενοί τ' ἐπὶ ταῖς κοίταις ἐπὶ τοῖσιν . . .* vulg. *κατακλινομένους ἐν ταῖς κοίταις ἐπὶ τοῖσί τ'* Hamaker. Ipse conjeceram *κατακλινομένους ἐπὶ ταῖς κοίταις* (vel *τῆς κοίτης*), *ἐπὶ τοῖσί τ' . . .* Patres enim et avos, non filios, *κατακλινομένους* dici ostendunt verba *ἀναπηδῶν δειμαίνοντας* v. 1042. Cf. Nub. 35-7. *ὑμῶν* libri. *ἡμῶν* Ald.

1041. *συνεκόλλων* vulg. Mein. *ξυνεκόλλων* Dind.

ὥστ' ἀναπηδᾶν δειμαίνοντας πολλοὺς ὡς τὸν πολέμαρχον.
τοιόνδ' εὑρόντες ἀλεξίκακον, τῆς χώρας τῆσδε καθαρτὴν,
πέρυσιν καταπρούδοτε καινοτάταις σπείραντ' αὐτὴν διανοίαις,
ἃς ὑπὸ τοῦ μὴ γνῶναι καθαρῶς ὑμεῖς ἐποιήσατ' ἀναλδεῖς.
καίτοι σπένδων πόλλ' ἐπὶ πολλοῖς ὄμνυσιν τὸν Διόνυσον
μὴ πώποτ' ἀμείνον' ἔπη τούτων κωμῳδικὰ μηδέν' ἀκοῦσαι.
τοῦτο μὲν οὖν ἔσθ' ὑμῖν αἰσχρὸν τοῖς μὴ γνοῦσιν παραχρῆμα,
ὁ δὲ ποιητὴς οὐδὲν χείρων παρὰ τοῖσι σοφοῖς νενόμισται,
εἰ παρελαύνων τοὺς ἀντιπάλους τὴν ἐπίνοιαν ξυνέτριψεν.
ἀλλὰ τὸ λοιπὸν τῶν ποιητῶν,
ὦ δαιμόνιοι, τοὺς ζητοῦντας
καινόν τι λέγειν κἀξευρίσκειν
στέργετε μᾶλλον καὶ θεραπεύετε,
καὶ τὰ νοήματα σῴζεσθ' αὐτῶν
ἐσβάλλετέ τ' ἐς τὰς κιβωτοὺς
μετὰ τῶν μήλων.
κἢν ταῦτα ποιῆθ', ὑμῖν δι' ἔτους
τῶν ἱματίων

1042. *πολέμαρχον*] *πολίαρχον* Hamaker.

1043. *τοιόνδ'* B.C.R. *τοιοῦτον δ'* S.V.

1044. *πέρυσιν* B.R.S.V. *πέρυσι* C. *καταπρούδοτε*] *καταπρούδοντε* R. Qu. *προδεδώκατε.* *σπείραντ'* R. Bekk. Dind. Bergk. Mein. Richt. *σπαίροντ'* V. *σπέροντ'* Δ. Ald. Junt. *σπεροντ'* (sup. *ες*) B. *σπαίροντασ'* (sic) C. *σπαίροντες* S.Γ. *σπείροντ'* Kust. Br. Inv. Hirsch. Praeplacet *σπείροντ'* *serentem*, Anglice *whilst sowing*. Qu. *καινοτάταις βρύοντ' αὐτὸν* &c. Vel *καινοτάτας μάττοντ' αὐτῇ διανοίας* (Eq. 539. *μάττων ἀστειοτάτας ἐπινοίας*). *αὐτὸν* libri et vulg. *αὐτὴν* (sc. *τὴν χώραν*) Hecker (in Mnem.). "Quod verum videtur, nisi cum Bothio malis *καινοτάτας . . . διανοίας.*" (Mein.) Verum haud dubie est *αὐτήν.* *διανοίαις*] An *ἐπινοίαις*, ut in Eq. 539? Sed cf. Pac. 750. *ἔπεσιν μεγάλοις καὶ διανοίαις.*

1045. *ὑμεῖς* C.R.S.V. *ὑμᾶς* (supr. *ει*) B. *ἀναιδεῖς* R.

1046. *σπένδων* C.R.V. *σπεύδων* B pr. *πολλοῖς* C.R.V. *πολλοῖσιν* B. Ald. *ὄμνυσιν* S.V. Br. *ὄμνυσι* C.R. Ald. *ὤμνυσι* B.

1048. *τοῖς μὴ γνοῦσιν*] Qu. *τό γε* (vel *τόδε, τάδε*) *μὴ γνῶναι.* Vel *ταῦτα μὲν οὖν . . . μὴ γνῶναι καὶ παραχρῆμα.* *γνοῦσιν* B.S.V. Ald. *γνοῦσι* C.R.

1049. *τοῖσι σοφοῖς*] *τοῖς πολλοῖς* Bentl., ni fallor. *νενόμισται*] Fort. *νομιεῖται.*

1050. *εἴπερ ἐλαύνων* libri et vulg. *εἰ παρελαύνων* Both. Dind. Hirsch. Bergk. Mein. Richt. Correctum ex scholiasta. Cf. ad Eq. 333.

1053. *καινὸν* libri. Bentl. Br. &c. *κοινὸν* Ald. Kust. Quod significaret *reipublicae utile.* Sed cf. 1044.

1056. *ἐσβάλλετε* (sic) libri. *τ'* R.S.V. Dind. Bekk. Hirsch. Bergk. Mein. *δ'* vulg. Richt. *ἐσβάλλετ' εἰς* C. *ἐς* C.(?)Γ. Dind. *εἰς* B.R.S.V. vulg.

ὀζήσει δεξιότητος. [στρ.
ὦ πάλαι ποτ' ὄντες ἡμεῖς ἄλκιμοι μὲν ἐν χοροῖς,
ἄλκιμοι δ' ἐν μάχαις,
καὶ κατ' αὐτὸ δὴ μόνον τοῦτ' ἄνδρες ἀλκιμώτατοι.
πρὶν ποτ' ἦν πρὶν ταῦτα, νῦν δ'
οἴχεται, κύκνου τ' ἔτι πολιώτεραι δὴ
αἵδ' ἐπανθοῦσιν τρίχες.

1060. *μὲν χοροῖς* (om. *ἐν*) Bergk.

1061. *μάχαις* C.R.S.V.Γ. Bekk. Dind. &c. *μάχαισιν* Ald. *μάχαισι* Br.

1062. *καὶ* vulg. *κοὐ* Madvig, qui obscoenum aliquid latere suspicatur. *κατ' αὐτὸ* B.C.V. *κατὰ ταὐτὸ* S. *ταῦτ' αὐτὸ* R. *δὴ τοῦτο μόνον* B. Ald. *τοῦτο μόνον* C.R.S.V.Γ. Apostol. XVIII. 62. Bergk. *τοῦτο δὴ μόνον* Br. Richt. Hirsch. Reisig. Conj. p. 136. *δὴ μόνον τοῦτ'* Bentl. Pors. (Praef. Hec. p. xlv.) Dind. Mein. prob. Richt. Recte, opinor, Bentleius. "Nihil praeter *καὶ κατ' αὐτὸ τοῦτο*, et fortasse ne hoc quidem, scriptum ab Aristophane, cetera a grammatico lacunae explendae causa addita videntur." (Dind.) Ipse tentabam *καὶ κατ' αὐτὸ τοῦτό γ' ἄνδρες ἀλκιμώτατοι μόνοι* (1076). Vel *καὶ κατ' αὐτὸ δὴ μόνοι τοῦτ' ἄνδρες ἀλκιμώτατοι.* Vel *καὶ κατ' αὐτὸ δὴ τόδ' ἄνδρες ἀλκιμώτατοι μόνοι.* Vel denique *καὶ κατ' αὐτὸ τοῦτό γ' ἄνδρες ἄλκιμοι δὴ μόνοι* (metrum i. q. in v. 1060). Cf. Soph. Phil. 438. *ξυμμαρτυρῶ σοι· καὶ κατ' αὐτὸ τοῦτό γε* &c. Dem. p. 1228. *καὶ κατ' αὐτὸ δὴ τοῦτο δικαίως ἂν ἔχοιτ' εὐνοϊκωτέρως* (al. *-ώτερον*) *ἐμοί.* Thuc. V. 26. *μόνον δὴ τοῦτο ἐχυρῶς ξυμβάν.* Quod si vera est Bentleii correctio, sensus fortasse hic erit, *et in hoc quidem uno* (nempe in judicando) *vel fortissimi*, ut ad saevam ac truculentam judicum naturam allusio sit. Ita locum intelligit Conzius. *μαχιμώτατοι* libri et vulg. *ἀλκιμώτατοι* Bentl. (vel *ἀνδρικώτατοι*). Pors. Hirsch. Mein. Bergk. Richt. *ἀνδρικώτατοι* Dind. Madvig. *μάλ'* (pro *ἄνδρες*) *ἀνδρικώτατοι* Reisig. Cf. 1077. 1090.

1064. *οἴχεται* C.S.V.Γ. Dind. &c. *οἴχεταί γε* B.R. vulg. Bekk. *κύκνου τε πολιώτεραι δὴ* B.C.V. vulg. Mein. *κύκνου τε πολιώτερα δὴ* R.S.Γ. *κύκνου πολιώτεροι δὴ* Suid. in *κύκνου.* *κύκνου τέ γε πολιώτεραι δὴ* Bentl. *κύκνοιό τε πολιώτεραι δὴ* Both. (Sic *θαλασσίοιο* infra 1519.) *κύκνου τ' ἔτι πολιώτεραι δή γ'* Reisig. Conj. p. 183. et (om. *γ'*) Dind. Hirsch. Bergk. Richt. "Haec quoque interpolata esse patet. Inutilem particulam *δὴ* etiam Suidas habet in *κύκνου*, qui haec ita scripta affert *κύκνου πολιώτεροι δὴ οἵδ' ἐπανθοῦσι τρίχας.*" (Dind.) Reponendum forsan *κύκνου τ' ἔτι* (vel *δέ γε*) *πολιώτεραι καὶ δὴ αἵδ'* (vel *δαἵδ'*) . . . (Similis crasis est in Th. 1150. *οὗ δὴ ἀνδράσιν* (vel *δἀνδράσιν*) *οὐ θέμις εἰσορᾶν* &c. De particulis *καὶ δὴ* *ecce* v. ad 1324. Nub. 906.) Vel *κύκνου τ'* (*δ'*) *ἔτι πολιώτεραί γ' ἡ-|μῖν ἐπανθοῦσιν τρίχες.* Vel *κύκνοιο δὲ πολιώτεραί γ'* . . . Vel *κύκνοι' ἔτι πολιώτεραι δ'* . . . Cf. 1519. *θαλασσίοιο.* Soph. Ant. 100. *ἀκτὶς ἀελίου* (*ἀελίοιο* recte La. Ald.). 1127. *διλύφου* (*διλόφοιο* Dind. &c.). Eur. Hec. 467. *καλλιδίφρου* (*καλλιδίφροι'* Porson.) *'Αθαναίας.* Idem metrum in Platonis com. v. ap. Eust. p. 1403, 32. *ἐν τρισὶν πληγαῖς ἀπηδέσθη τὸ ῥάμφος.* Quem locum frustra corruptum suspicatur propter vocalem ante *ῥ* correptam Meinekius Fr. Com. II. 304.

1065. *αἵδ' ἐπανθοῦσι τρίχες* B.C.R. Ald. *οἵδ' ἐπανθοῦσι τρίχας* S.V.Γ. schol.

ἀλλὰ κἀκ τῶν λειψάνων δεῖ τῶνδε ῥώμην
νεανικὴν σχεῖν· ὡς ἐγὼ τοὐμὸν νομίζω
γῆρας εἶναι κρεῖττον ἢ πολ-
λῶν κικίννους νεανιῶν καὶ
σχῆμα κεὐρυπρωκτίαν.
εἴ τις ὑμῶν, ὦ θεαταί, τὴν ἐμὴν ἰδὼν φύσιν
εἶτα θαυμάζει μ' ὁρῶν μέσον διεσφηκωμένον
ἥτις ἐστὶν ἡπίνοια τῆσδε τῆς ἐγκεντρίδος,
ῥᾳδίως ἐγὼ διδάξω, κἂν ἄμουσος ᾖ τὸ πρίν.
ἐσμὲν ἡμεῖς, οἷς πρόσεστι τοῦτο τοὐρροπύγιον,
Ἀττικοὶ μόνοι δικαίως ἐγγενεῖς αὐτόχθονες,

Suid. *αἴδ' ἐπανθοῦσιν τρίχες* Br. Ad *οἴδ'* in Veneti margine adscriptum *οἱ κρόταφοι.* Fort. *τοῖσδ' ἐπανθοῦσιν τρίχες.*

1066-1070. *ἀλλὰ . . . | τῶνδε . . . | ὡς . . . | γῆρας . . . πολ-|λῶν . . . | σχῆμα* . . . Elmsl. *Quart. Rev.* XIV. 462. (Et similiter in antistropha. Atque ita Hirsch. Mein.) *ἀλλὰ . . . | νανικὴν . . . | γῆρας . . . | καὶ . . .* Dind. *ἀλλὰ . . . | νανικὴν . . . | γῆρας . . . πολ-|λῶν . . . καὶ | σχῆμα . . .* Dind. olim. Bergk. Richt. *δεῖ τῶνδε καὶ τήνδε* Suidas. "Locus graviter corruptus." (Mein.) *ῥώμην* B.C.R. *γνώμην* B. supr. S.V. et Suid. *γρ. γνώμην* Γ.

1067-1069. *νεανικὴν . . . νεανιῶν* libri et vulg. Hirsch. Bergk. Mein. Richt. *νανικὴν . . . νανιῶν* Dind., quum synizesin non ferat usus comicorum. Idem *νῆνις* pro *νεᾶνις* apud Anacreontem confert. Trisyllabum est *νεανίας* Eur. Cycl. 28. *νέμουσι μῆλα νεανίαι πεφυκότες.* Phoen. 147. *εἰσιδεῖν νεανίας.* Hel. 666. *βαρβάρου νεανία.* 172. Iph. A. 615. *ὑμεῖς δὲ, νεάνιδες . . .* 1623. *μόσχον νεαγενῆ.* Conferri possunt etiam *ἆ* (pro *ἔα*), *θᾶσαι, θᾶσθε, θᾶσθαι, δῇ, πρηγορῶν, νοττὸς, νοττίον, νολαία*, alia. Cf. ad Av. 547. Eq. 301. *ὡς* add. B. supr. C.R.S.V.Γ. Suid. in *κίκιννος* et *κύκνου*. Bekk. Dind. &c. om. B pr. Ald. Br.

1069. *κικίννους* B.C.R. Kust. *κίννους* S.V. *κοκκίνους* Ald. *νεανιῶν*] *Κλεινιῶν* ingeniose conjicit Mein., Alcibiadis fratrem intelligi ratus. Cf. ad 1067. Sed oppositio hic est inter *γῆρας* et *νεανιῶν.* *καὶ* om. S.

1070. *κηὐρυπρωκτίαν* R.S. Reisig. Synt. Crit. p. 31. *κηὖρυπρωκτίαν* B.C. *κ' ηὐρυπρωκτίαν* V. (s. Cob.) *κὴυρυπρωκτίαν* Ald. *κ' εὐρυπρωκτίαν* Kust. *κεὐρυπρωκτίαν* Br. Bekk. Dind. Mein. Richt. Cf. Av. 37. *κεὐδαίμονα.* 1741. *κεὐδαίμονος.*

1072. *θαυμάζειν* V. *μ' ὁρῶν μέσον*] *μέσον μ' ὁρῶν* malit Dobraeus II. 261. *ἐσφηκωμένον* B pr. C.

1073. *ἢ τίς* B.C.R.V. vulg. *ἥτις* diserte S. Bentl. (Ep. ad Mill. p. 18.) Pors. Hirsch. Bergk. Mein. Dind. *χἤτις* Richt. *ἡμῶν ἐστιν ἡ 'πίνοια τῆσδε τῆς* B.C.R.(?) vulg. *ἡμῶν ἡ 'πίνοια τῆσδε τῆς* Flor. Chr. Bergk. *ἡμῶν* (or *ἐστιν*) *ἡ 'πίνοια τῆσδε τῆς* Bentl. *ἐστιν ἡ 'πίνοια τῆσδε τῆς* Pors. Br. Bekk. Richt. *ἡμῶν ἐστιν ἡ 'πίνοια τῆς* (om. *τῆσδε*) R.(?)S.V.Γ. Dind. Inv. Hirsch. Mein. Vulgata, opinor, praeferenda. Post *με* parum apte infertur *ἡμῶν*. Adde quod postulari videtur pronomen demonstrativum *τῆσδε.* *ἡπίνοια* C. recte. *ἡ 'πίνοια* B.S. vulg. *κεντρίδος* S.

1076. delent Hamaker. Mein. *ἐγγενεῖς* B corr. R.S.V.Γ. Bekk. Hirsch.

ἀνδρικώτατον γένος καὶ πλεῖστα τήνδε τὴν πόλιν
ὠφελῆσαν ἐν μάχαισιν, ἡνίκ' ἦλθ' ὁ βάρβαρος
τῷ καπνῷ τύφων ἅπασαν τὴν πόλιν καὶ πυρπολῶν,
ἐξελεῖν ἡμῶν μενοινῶν πρὸς βίαν τἀνθρήνια.
εὐθέως γὰρ ἐκδραμόντες ξὺν δορὶ ξὺν ἀσπίδι
ἐμαχόμεσθ' αὐτοῖσι θυμὸν ὀξίνην πεπωκότες,
στὰς ἀνὴρ παρ' ἄνδρ', ὑπ' ὀργῆς τὴν χελύνην ἐσθίων.
ὑπὸ δὲ τῶν τοξευμάτων οὐκ ἦν ἰδεῖν τὸν οὐρανόν·
ἀλλ' ὅμως ἐωσάμεσθα ξὺν θεοῖς πρὸς ἑσπέραν.

Mein. Richt. Dind. conj. Dobr. *εὐγενεῖς* C. vulg. Bergk. *εὐμενεῖς* (supr. *ἐγγενεῖς*) B. "An *ἐγγενεῖς*? Imo v. Thesm. 330." (Dobr.) *αὐτόχθονες*] Fort. *καὐτόχθονες*.

1078. *ὠφελήσαμεν μάχεσιν* R. *ἦλθ'* B.C.S.V. Flor. Chr. Br. *ἦνθ'* R. *ἦλθεν* Ald.

1080. *ὑμῶν* R.

1081. *ξὺν δορὶ ξὺν ἀσπίδι* R.S.V.Γ. Suidas in *θυμόν*. Fl. Chr. Bentl. Reisk. Hirsch. Br. *ξὺν δουρὶ ξὺν ἀσπίδι* B.C. Kust. *δουρὶ ξὺν ἀσπίδι* Ald. *ξὺν δόρει ξὺν ἀσπίδι* Both. Mein. Richt. Dind. *σὺν δόρει σὺν ἀσπίδι* Bergk. "Restitui *σὺν δόρει σὺν ἀσπίδι* Etymologici M. p. 284, 31. et Choerobosci auctoritate confirmatum: de quo dicetur ad Pacis v. 357." (Dind.)

1082. *ἐμαχόμεθ'* S. *πεπωκότος* V.

1083. *στὰς* B.R.S.V.Γ.Δ. et Suid. in *χελύνη*. Flor. Chr. Br. &c. *τὰς* C. *πᾶς* Ald. *παρ'* B.C.S.V. *πρὸς* R. *τὴν χελύνην ἐσθίων*] Qu. *τὴν χελύνην ἐνδάκνων* (aut *ἐνδακών*). Cf. Aesch. Prom. 1045. *δακὼν δὲ στόμιον ὡς νεοζυγὴς πῶλος*. Nub. 1369. *τὸν θυμὸν δακών*. Eubul. com. III. 230. *δάκνων τὰ χείλη*. Lucian. cal. &c. 24. *ἐνδακόντα τὸ χεῖλος ὑποτρέφειν τὴν χολήν*. Cf. ad Soph. Trach. 976. 1261. Plura dedi in comm.

1084. 1085. delet Hamaker. 1084. *τοξοτῶν* S.V.

1085. *ἀπεωσάμεσθα* B.C. vulg. Hirsch. Richt. *ἐπαυσάμεσθα* R. *ἐσωζόμεσθα* S.V. et adscriptum in Γ. Mein. *ἐωσάμεσθα* Cramer. Anecd. Oxon. IV. 446. (qui per errorem ex Lysistrata citat). Bergk. Dind. *ἀπωσάμεσθα* olim Dind. *ἐτρεψάμεσθα* Hirschig. Ann. Crit. p. 74. Verum videtur *ἀπωσάμεσθα*: vix enim hic convenit simplex verbum *ἐωσάμεσθα*. Augmentum vero hujus verbi plerumque, non tamen semper, additur. Cf. Pac. 637. *ἐώθουν*. Soph. Oed. C. 770. *τότ' ἐξεώθεις κἀξέβαλλες*. 1296. *γῆς ἐξέωσεν*. 1330. *ὅς μ' ἐξέωσε*. 1363. *σύ μ' ἐξέωσας*. Thuc. I. 32. *ἀπεωσάμεθα*. I. 144. *ἀπεώσαντο*. II. 4. *ἀπεωθοῦντο*. II. 90. *ἐξέωσαν*. III. 55. *ἀπεώσασθε*. III. 57. *περιεώσμεθα*. III. 67. *ἀπεώσαντο*. IV. 43. *ἐώσαντο*. V. 22. *ἀπεώσαντο*. V. 72. *ἐξέωσαν*. VIII. 105. *ἐξέωσαν*. Arrian. I. 1. 16. *ἐξεώσεν*. Plut. Nic. 7. *ἀπεώσαντο*. Alc. 27. *ἐξέωσεν εἰς τὴν γῆν*. Lucian. cal. &c. 10. *ἐξέωσται*. Dem. p. 128. *τὸν δ' Εὐφραῖον ἐώθουν*. p. 384. *διεωθοῦντο* (al. *διωθ.*). p. 555. *διεωσάμην*. Plat. Tim. 60 C. *ἔωσεν*. 90. *ἔωσαν*. Sine augmento Herodot. 7, 167. *ὦσε*. 9, 25. *ὤσαντο*. 4, 113. *ἀπωθέετο*. 5, 69. *ἀπωσμένον*. 6, 86. *διωθέετο*. Eurip. Iph. T. 1395. et Plat. Charm. 155 C. *ὤθει*. Incerti Rhes. 811. *ἐξαπώσατε*. Soph. Fr. 380. *ἄπωσε*. Unde liquet non constanter adhibitum esse augmentum.

γλαῦξ γὰρ ἡμῶν πρὶν μάχεσθαι τὸν στρατὸν διέπτετο·
εἶτα δ' εἰπόμεσθα θυννάζοντες ἐς τοὺς θυλάκους,
οἱ δ' ἔφευγον τὰς γνάθους καὶ τὰς ὀφρῦς κεντούμενοι·
ὥστε παρὰ τοῖς βαρβάροισι πανταχοῦ καὶ νῦν ἔτι
μηδὲν Ἀττικοῦ καλεῖσθαι σφηκὸς ἀνδρικώτερον.
ἆρα δεινὸς ἦ τόθ', ὥστε πάντα μ' ἐκδεδοικέναι; ἀντ.
καὶ κατεστρεψάμην
τοὺς ἐναντίους, πλέων ἐκεῖσε ταῖς τριήρεσιν.
οὐ γὰρ ἦν ἡμῖν ὅπως

Non tamen temere rejiciendum ἐωσάμεσθα. Cf. Eurip. Iph. T. 326. εἰ δὲ τούσδ' ὠσαίατο (*repellerent*). ἑσπέραν V. Cramer. Anecd. l. l. Hirsch. Bergk. Mein. Dind. ἑσπέρᾳ B. vulg. Richt. ἑσπέρας R. et (ni fallor) C. Verum est πρὸς ἑσπέραν. Cf. Lys. 412. Xenarch. com. III. 617. Sic εἰς ἑσπέραν Pac. 966. Eccl. 1047. Pl. 998. 1201.

1086. γλαῦξ B. vulg. γλαὺξ C.S. διέπτατο libri et Ald. Bergk. Richt. διέπτετο Br. Hirsch. Mein. Dind.

1087. 1088. Hos vv. transponit Hamaker.

1087. εἶτ' ἐσεπτόμεσθα Hirschig., coll. 431. Ipse εἶτ' ἐφεσπόμεσθα (vel ἐφειπ.) aut ἐπεπτόμεσθα malim. Thuc. IV. 35. καὶ οἱ Ἀθηναῖοι ἐπισπόμενοι . . . V. 11. ἐπισπόμενοι. Xen. An. VII. 4, 6. συνεπισπέσθαι. Hom. Il. ν'. 567. μετασπόμενος. ἑσπόμεσθα B.C. vulg. Bergk. Richt. ἑπόμεσθα S. ἑπόμεσθα V. εἰπόμεσθα R. Bekk. Hirsch. Mein. Dind. Quod recipiendum videtur. Sic ἔφευγον in prox. seq. v. Frequens haec confusio in libris. Vid. Elmsl. ad Heracl. 634. εἰς libri. ἐς Dind. &c.

1088. ὀφρῦς B.S. ὀφρὺς C.

1091. ἦ B.S. schol. vulg. Dind. Mein. Richt. ἦι (sic) V. ἦν C.R. Bergk. Vide schol. ad h. v. et ad 1074. πάντα μὴ δεδοικέναι vulg. Dind. πάντα μ' ἂν δ. Dobr. πάντας ἐμὲ δ. Hirsch. Mein. πάντα με δ. Bergk. Bene monet Richter: "πάντα μὴ pro μηδένα vel μηδὲν exemplis carere putaverim." Adde quod qui δεινὸς *terribilis* est non formidat ipse, sed formidatur ab aliis. Legendum igitur videtur vel πάντας ἐμὲ δεδοικέναι (cum Hirschig., quod et ipse conjeceram), vel πάντα με δεδοικέναι (cum Bergkio). Cf. ad v. str. 1060. Ipse tentabam πάντα μ' ἐκδεδοικέναι (*ita ut omnia me formidarent*), vel πάντα δὴ δεδοικέναι (sc. με), vel πάντα γ' ἐμὲ δεδοικέναι, vel πᾶν με δὴ δεδοικέναι. Ceterum post δεδοικέναι interrogationis signum recte ponit Lenting, nisi post τριήρεσιν potius interrogandum. Cf. ad Lys. 648. ἆρα προὐφείλω τι χρηστὸν τῇ πόλει παραινέσαι;

1092. κατεστρεψάμην C.R.S.V.Γ. Bekk. Dind. &c. κατεστρεψάμην γε B. Ald. Br.

1093. ἐκεῖσε] κεῖσε Bergk. Madvig. Cf. ad 1062.

1094. οὐ γὰρ ἦν ἡμῖν ὅπως | ῥῆσιν εὖ λέξειν ἐμέλλομεν τότ' vulgo. Corrigendum forsan οὐ γὰρ ἦν ἡμῖν ὅπως | ῥῆσιν εὖ λέξαι φανοῖτό τις (vel φανοῖτό τις λέξαι) τότ' οὐδὲ | συκοφαντῆσαί τινα | φροντίς. Postulatur enim, opinor, optativus hic non minus quam infra v. 1097. ὅστις ἐρέτης ἔσοιτ'. Cf. tamen ad 282.

ῥῆσιν εὖ λέξειν ἐμέλλομεν τότ' οὐδὲ
    συκοφαντήσειν τινὰ
φροντὶς, ἀλλ' ὅστις ἐρέτης ἔσοιτ' ἄριστος.
τοιγαροῦν πολλὰς πόλεις Μήδων ἑλόντες
    αἰτιώτατοι φέρεσθαι
    τὸν φόρον δεῦρ' ἐσμὲν, ὃν κλέ-
        πτουσιν οἱ νεώτεροι.
πολλαχοῦ σκοποῦντες ἡμᾶς εἰς ἅπανθ' εὑρήσετε
τοὺς τρόπους καὶ τὴν δίαιταν σφηξὶν ἐμφερεστάτους.
πρῶτα μὲν γὰρ οὐδὲν ἡμῶν ζῷον ἠρεθισμένον
μᾶλλον ὀξύθυμόν ἐστιν οὐδὲ δυσκολώτερον·
εἶτα τἄλλ' ὅμοια πάντα σφηξὶ μηχανώμεθα.
ξυλλεγέντες γὰρ καθ' ἑσμοὺς, ὥσπερ ἐς τἀνθρήνια,
οἱ μὲν ἡμῶν οὗπερ ἄρχων, οἱ δὲ παρὰ τοὺς ἕνδεκα,
οἱ δ' ἐν ᾠδείῳ δικάζουσ', οἱ δὲ πρὸς τοῖς τειχίοις,

1097. *ὅστις ἂν* C.R.S.V.Γ. Bekk. *ὃς* (supr. *τις*) *ἂν* B. *ὃς ἂν* vulg. *ὅστις* Elmsl. (in *Quart. Rev.* XIV. 463.) Dind. Mein. &c.

1099. *τὸν* C.R.S.V.Γ. Br. &c. *καὶ τὸν* B. Ald. Kust.

1101. *κλέπουσιν* S.

1102. *ἡμᾶς* C.R.V. *ὑμεῖς* B pr.

1103. *ἐμφερεστάτους*] *ὄντας ἐμφερεῖς* Cobet. (Mnem.), sc. ne post *εὑρήσετε* desit participium. Sed vide e. g. Eq. 91. Cf. etiam infra 1112.

1105. *ἐστὶ* V.

1107. *ξυλλέγοντες* R.V. *συλλέγοντες* B.C. Ald. *ξυλλεγέντες* S. (ni fallor) Bentl. Reisk. Br. &c. *ὡσπερεὶ τἀνθρήνια* C.R.S.V. vulg. *ὡσπερεὶ* (*περει* in ras.) . . . B. Malim *ὥσπερ ἐς* . . ., *tanquam in alvearia*, quod pendeat ab *ξυλλεγέντες*. Ipsum animale est *ἀνθρήνη* (Nub. 947), *vespa crabro*, quarum alvear est *ἀνθρήνιον*; *σφὴξ vespa vulgaris*, quarum alvear est *σφηκιά* (229. 404). Sed promiscue his vocibus utitur poeta. Cf. 1080. *ἐξελεῖν ἡμῶν μενοινῶν πρὸς βίαν τἀνθρήνια.* 229. *δικαστῶν σφηκιάν.* 404. *τἀνθρήνια* C.R.S.V. *τ' ἐνθρήνια* B.

1108-9. Duo hemistichia *οἱ δὲ* . . . *ἕνδεκα* et *οἱ δὲ* . . . *τειχίοις* transponit Bergk. Comm. p. 18, sc. ut verba connectantur *οἱ δὲ παρὰ τοὺς ἕνδεκα* | *ξυμβ.* Judicio enim *Parabysto* dicto praefuisse undecim viros, teste Harp. p. 146. *Παράβυστον: οὕτως ἐκαλεῖτό τι τῶν παρ' Ἀθηναίοις δικαστηρίων, ἐν ᾧ ἐδίκαζον οἱ ια'.* &c. De eo Pausanias I. 28, 8. *τὸ μὲν οὖν καλούμενον Παράβυστον . . . ἐν ἀφανεῖ τῆς πόλεως ὃν καὶ ἐπ' ἐλαχίστοις συνιόντων ἐπ' αὐτό.* *ὁ μὲν* S. *ἄρχων* libri. *ἄρχων* Dind. &c. *παρὰ τοὺς ἕνδεκα* vulg. Dind. Mein. &c. *παρὰ τοῖς ἕνδ.* Hirschig. Ann. Crit. p. 74, quod melius conveniat cum *οὗπερ ἄρχων* et *ἐν ᾠδείῳ*. Idem conjicit Richter Praef. p. 103.

1109. *ὀδίωι* R. Suspectum mihi est *τοῖς τειχίοις*. Quid tamen substituendum sit nondum video. Qu. *οἱ δέ γ' ἐν τῷ Μητίχου* (quod forum memoratur Poll. VIII. 121). Vel *οἱ δέ γ' ἐπὶ Δελφινίῳ* (ut *ἐπὶ Παλλαδίῳ* Fr. 533). Vel *οἱ δέ γ' ἐπὶ Φοινικιῷ* (Paus. Attic. 25).

ξυμβεβυσμένοι πυκνοὶ, νεύοντες ἐς τὴν γῆν, μόλις
ὥσπερ οἱ σκώληκες ἐν τοῖς κυττάροις κινούμενοι.
ἐς δὲ τὴν ἄλλην δίαιτάν ἐσμεν εὐπορώτατοι·
πάντα γὰρ κεντοῦμεν ἄνδρα κἀκπορίζομεν βίον.
ἀλλὰ γὰρ κηφῆνες ἡμῖν εἰσιν ἐγκαθήμενοι
οὐκ ἔχοντες κέντρον, οἳ μένοντες ἡμῶν τοῦ φόρου
τὸν πόνον κατεσθίουσιν, οὐ ταλαιπωρούμενοι.

1110. *ξυμβεβυσμένοι, πυκνὸν νεύοντες* vulg. Dind. Mein. *ξυμβεβυσμένοι πυκνόν· νεύοντες* S. et sic Bergk. *ξυμβεβυσμένοι πυκνὸς νεύοντες* Mein. (Pnycis moenia intelligens, coll. Eccl. 497.) et Kennedy apud Holdenum, ut Πυκνὸς ad verba *πρὸς τοῖς τειχίοις* pertineat. Sed articulo *τῆς* ante Πυκνὸς opus foret. Qu. *ξυμβεβυσμένοι πυκνοὶ, νεύοντες* . . . I. e. *arcte constipati*, Anglice *squeezed together close, crowded close together*. Vel *ξυμβεβυσμένοι, κάτω νεύοντες* &c. *εἰς* libri et vulg. *ἐς* Dind. &c.

1111. *ὥσπερ οἱ σκώληκες*] Qu. *ὡσπερεὶ σκώληκες* (ut Ach. 876. *ὡσπερεὶ χειμών*). Sed cf. ad 1107. *κυττάροις* C. *κυτάροις* S.V. *καττάροις* R. *κιττάροις* B.

1112. 1113. delet Hamaker. Fortasse recte.

1112. *ἔς τε* vulg. *ἐς δὲ* Richt. Recte. *εὐπορώτατοι* vulg. *ἐμφερέστατοι* (ut in 1103) malit Bentl. Fortasse recte. Sed cf. 1113. et vide comm.

1114. *ἀλλὰ γὰρ κηφῆνες*] Qu. *ἀλλὰ κηφῆνες γὰρ*, quum hoc aeque toleret metrum. Comici enim praesertim *ἀλλὰ* . . . *γὰρ* potius quam *ἀλλὰ γὰρ* ponere solent, nisi quando illud recuset metrum. Cf. 328. 1271. Eq. 328. *ἀλλ' ἐφάνη γὰρ ἀνὴρ* &c. Thesm. 264. *ἀλλ' ἔχεις γὰρ* . . . Ach. 40. Lys. 1023. 1239. Pl. 425. Contra *ἀλλὰ γὰρ* legitur Thesm. 384. *ἀλλὰ γὰρ | βαρέως φέρω* . . . Eq. 1086. *ἀλλὰ γὰρ ἔστιν ἐμοὶ χρησμὸς* (in v. heroico) &c. Eupolis ap. Suid. in *ἀλλὰ γὰρ* (expl. *ἀντὶ τοῦ δὲ*) : *ἀναρίστητος ὢν | κοὐδὲν βεβρωκὼς, ἀλλὰ γὰρ στέφανον ἔχων*. Aesch. Sept. 861. *ἀλλὰ γὰρ ἤκουσ'*. Soph. Ant. 148. *ἀλλὰ γὰρ ἁ μεγαλώνυμος* &c. Phoen. 1318. *ἀλλὰ γὰρ Κρέοντα λεύσσω* &c. 1762. *ἀλλὰ γὰρ τί ταῦτα θρηνῶ* . . . ; Med. 1080. *ἀλλὰ γὰρ ἔστιν | μοῦσα καὶ ἡμῖν*. Andr. 264. *ἀλλὰ γὰρ λόγους | κρύψω*. Tro. 444. Antiop. Fr. 28. Herod. V. 3. *ἀλλὰ γὰρ τοῦτο ἄπορόν σφι*. IX. 42. *ἀλλὰ γὰρ ἔστι λόγιον ὡς χρεόν ἐστι Πέρσας* . . . *διαρπάσαι τὸ ἱρὸν* . . . *μετὰ δὲ τὴν ἁρπαγὴν ἀπολέσθαι πάντας*. Plat. Phil. 12. *ἀλλὰ γὰρ ἀφοσιοῦμαι* &c. 43. 49. Id. Criti. 108. *ἀλλὰ γὰρ ἀθυμοῦντες ἄνδρες οὔπω τρόπαιον ἔστησαν*. Phaed. 87 D. Lach. 201. Charm. 166. Theaet. 191. 196. Euthyphr. 17. Phaedr. 228. Dem. p. 200. 716. 1089. 1091. 1199. 1308. 1342. De Cor. 263. Andoc. I. 23. 72. 103. 124. Isae. X. 34. Xen. Mem. II. 1. 17. Cyr. VII. 1. Rep. Lac. 10. Symp. VII. 4. VIII. 6. Hipparch. VI. 1. Oecon. I. 16. VIII. 2. XI. 11. XII. 1. Isocr. p. 69 C. 77 B. 89 B. et alibi saepe. Herod. I. 146. V. Elmsl. ad Her. 481. Sic etiam *καὶ γάρ*. *ἡμῖν*] *ἡμῶν* Mein. *ἐγκαθήμενοι*] *οἱ καθήμενοι* Mein.

1115. delent Hamaker. Mein. *ἡμῶν τοῦ φόρου*] *ἔνδον τοὐροφοῦ* Bergk. Ipse jam tentaveram *εἴσω τοὐρόφου*. Vix enim satisfacere videbatur simplex *μένοντες*, absolute sic positum. Sed nil mutandum. Cf. Pac. 341. *πλεῖν, μένειν, κινεῖν, καθεύδειν*. Ach. 1052. Ἡμῶν ad *τὸν πόνον* refert Mein.

1116. *τὸν γόνον* libri et vulg. *τὸν πόνον* Dobr. Mein. Bergk. Cf. ad Ran. 845.

τοῦτο δ' ἔστ' ἄλγιστον ἡμῖν, ἤν τις ἀστράτευτος ὢν
ἐκροφῇ τὸν μισθὸν ἡμῶν, τῆσδε τῆς χώρας ὕπερ
μήτε κώπην μήτε λόγχην μήτε φλύκταιναν λαβών.
ἀλλ' ἐμοὶ δοκεῖ τὸ λοιπὸν τῶν πολιτῶν ἐμβραχὺ
ὅστις ἂν μὴ 'χῃ τὸ κέντρον μὴ φέρειν τριώβολον.
ΦΙ. οὔτοι ποτὲ ζῶν τοῦτον ἀποδυθήσομαι,
ἐπεὶ μόνος μ' ἔσωσε παρατεταγμένον,
ὅθ' ὁ βορέας ὁ μέγας ἐπεστρατεύσατο.
ΒΔ. ἀγαθὸν ἔοικας οὐδὲν ἐπιθυμεῖν παθεῖν.
ΦΙ. μὰ τὸν Δί', οὐ γὰρ οὐδαμῶς μοι ξύμφορον.
καὶ γὰρ πρότερον ἐπανθρακίδων ἐμπλήμενος
ἀπέδωκ' ὀφείλων τῷ κναφεῖ τριώβολον.

Fort. *τὸν γόμον onus*, vel *τὸν πόρον*. Per *τὸν κάματον* explicat schol. Glossema videtur esse *γόνον*. Schol. R: *ὡσανεὶ ἔφη τὸν γόνον τῶν μελισσῶν*.

1117. Verba *ἡμῖν . . . μισθὸν* om. V. *ἥν τις . . . ἡμῶν* om. S. *ἄλγιστον, ἡμῶν ἥν τις* B.C.R. (ut vid.) S. *ἄλγιστον, ὑμῶν ἥν τις* Ald. *ἄλγιστον ἡμῖν, ἥν τις* Br. Dind. Bekk. Bergk. Mein. Hirsch. Richt.

1118. *ἐκφορῇ* libri et vulg. *ἐκροφῇ* Reisk. Dobr. Dind. recc. Cf. Eq. 905. 360. 701.

1119. *κώπην . . . λόγχην*] Qu. *λόγχην . . . κώπην*. Remigando enim fiunt vesicae. *λόγχην* B corr. R.S. *λόχμην* B pr. C.V.

1120. *ἀλλά μοι* B.C.R.S.V. Ald. Bekk. Hirsch. *ἀλλ' ἐμοὶ* Br. Dind. Bergk. Mein. *ἐμβραχὺ* R. (hic et in Th. 390.) Dind. Mein. *ἐνβραχὺ* V. *ἔμβραχυ* B.C. vulg. Hirsch. Bergk. Richt. Cobet. V. L. p. 208. *ἐν βραχεῖ* S. Dindorfius citat Joann. Alex. *τον. παραγγ.* p. 37, 21.

1121. *μήχῃ* S.

1123. *ἔσωσε* B.C.S. *ἔσωσεν* R.V.

1125. *ἀγαθὸν* B.C.S.V. *ἀγάθ'* R.Γ.

1126. *μὰ τὸν Δί', οὐ γὰρ* vulg. Dind. Both. Bergk. *μὰ τὸν Δί' οὐ γὰρ* (sic) Reisig. Conj. p. vii. Richt. Mein. Fortasse recte. Cf. ad Pl. 106.

1127. *ἐπανθρακίδων* R.V. Scal. Pors. Elmsl. Br. *ἐπ' ἀνθρακίδων* B.C.S. *ἐμπλήμενος* B corr. R.S.Γ. *ἐμπλημένος* V. *ἐμπεπλησμένος* C. *πεπλησμένος* (supr. *ἐμπλήμενος*) B. Ald. Hunc versum ita citat Athenaeus p. 329 B. *καὶ γὰρ πρότερον δὶς ἀνθρακίδων ἅλμην πιών*. Unde hic legendum . . . *ἐπανθρακίδων ἅλμην πιὼν* censebat Lennep. ad Coluth. p. 18. Cf. Ach. 670. *ἡνίκ' ἂν ἐπανθρακίδες ὦσι παρακείμεναι, | οἱ δὲ Θασίαν* (sc. *ἅλμην*) *ἀνακυκῶσι λιπαράμπυκα*. Sed quid, quaeso, est *ἐπανθρακίδων ἅλμη*? Grammatici memoriae errori illam scripturam tribuit Dind. ad Fragm. 366.

1128. *ἀπέδωκ' ὀφείλων*] Locus mihi suspectus. Vide an scripserit Comicus, *ἐκδοὺς* (sc. *τὸν τρίβωνα*) *ὀφείλω* . . . (Theophr. Char. 22. *ἔνδον μένειν, ὅταν ἐκδῷ θοἰμάτιον ἐκπλῦναι*. Char. 30. *ἱμάτιον ἐκδοῦναι πλῦναι*. Dem. p. 522. *ἐκδόντος δέ μοι Δημοσθένους . . . στέφανον χρυσοῦν ὥστε κατασκευάσαι*. Lysias Athen. 209 F. *ἐπισκευάσαι αὐτὴν βουλόμενος ἐξέδωκα εἰς τὸ χαλκεῖον*. Aelian. V. H. 5, 5. *αὐτὸν* (*τὸν τρίβωνα*) *ἔδωκεν* (*ἐξέδωκεν*?) *εἰς γναφεῖον*. Macho Athen. 582 D. *λαβοῦσα . . . καινὸν λήδιον | ἔδωκεν εἰς γναφεῖον*.) Vel *ἀποδὺς*

ΒΔ. ἀλλ' οὖν πεπειράσθω γ', ἐπειδήπερ γ' ἅπαξ
ἐμοὶ σεαυτὸν παραδέδωκας εὖ ποιεῖν.
ΦΙ. τί οὖν κελεύεις δρᾶν με; ΒΔ. τὸν τρίβων' ἄφες,
τηνδὶ δὲ χλαῖναν ἀναβαλοῦ τριβωνικῶς.
ΦΙ. ἔπειτα παῖδας χρὴ φυτεύειν καὶ τρέφειν,
ὅθ' οὑτοσί με νῦν ἀποπνῖξαι βούλεται;
ΒΔ. ἔχ' ἀναβαλοῦ τηνδὶ λαβών, καὶ μὴ λάλει.
ΦΙ. τουτὶ τὸ κακὸν τί ἐστι πρὸς πάντων θεῶν;
ΒΔ. οἱ μὲν καλοῦσι Περσίδ', οἱ δὲ καυνάκην.
ΦΙ. ἐγὼ δὲ σισύραν γ' ᾤόμην Θυμαιτίδα.
ΒΔ. κοὐ θαῦμά γ'· ἐς Σάρδεις γὰρ οὐκ ἐλήλυθας·
ἔγνως γὰρ ἄν. νῦν δ' οὐχὶ γιγνώσκεις. ΦΙ. ἐγώ;

(1122) ὀφείλω . . . Vel ἔδωκα πλύνειν τῷ κναφεῖ τριωβόλου (cf. ad Eq. 798). Vel χέσας ὀφείλω . . . τριώβολον. Richterus etiam ἀποδοὺς ὀφείλω proponit. Cf. ad Ach. 487. Verum certe videtur ὀφείλω. γναφεῖ B.R.S.V. vulg. γραφεῖ C. κναφεῖ Dind. Bergk. Mein. Richt. γναφεῖ probat Blomf. Gl. Pers. 582. Cf. ad Pl. 166. Eccl. 415. Herod. I. 92. κνάφου. IV. 14. κναφήϊον et κναφεύς. Xen. Memor. III. 7. 6. Aesch. Pers. 582. γναπτόμενοι δ' ἁλὶ δεινὰ &c. (ubi κναπτόμενοι malit Dind., quem v. in Steph. Thes. s. v. κνάπτω). Soph. Aj. 1031. ἐκνάπτετ' (sic L pr. &c. ἐγνάπτετ' plerique libri, ἐγνάμπτετ pauci). Plat. Rep. X. 616 A. ἐπ' ἀσπαλάθων κνάπτοντες (al. κνάμπτ.). Antiquos Atticos dixisse κναφεὺς, recentiores γναφεὺς, tradit Harpocratio. Sed *vetustissimos* Atticos posteriorem, quae Ionica fuit, usurpasse contendit Blomfield. Apud Homerum certe leguntur γνάμπτειν et γναμπτός.

1129. πεπειράσθω] πεπείρασο σύ γ', ἐπειδήπερ γ' Reisk.

1130. παραδέδωκας] Fort. ἐπιδέδωκας. Cf. ad Th. 213.

1132. 1135. ἀναβαλοῦ B.C.Δ. Scal. Br. &c. ἀναλαβοῦ R.S.V.Γ. Ald.

1132. τριβωνικῶς] γεροντικῶς varia lectio scholiastae.

1133. παῖδας R.S.V. Junt. 2. Br. &c. παῖδα B.C. Ald. καὶ τρέφειν] κἀκτρέφειν conj. Hirsch. ed. Mein. Dind. Cf. Pac. 629. ἣν ἐγὼ 'φύτευσα κἀξεθρεψάμην. Correctio non necessaria.

1134. ἀποπνίξαι libri et vulg. ἀποπνῖξαι Dind. Bekk. &c.

1138. σισύραν vulg. σίσυραν Bergk. Malim σισύραν γ'. θυμαιτίδα C.R. Ald. Dind. Mein. Bergk. θριμαιτίδα V. θειμαιτίδα S. θυμαντίδα B. Θυμοιτίδα (ex schol.) Br. Bekk. Both. "Schol: μήποτε γραπτέον Θυμοιτίδα. Fallitur. Θυμαιτάδης constanter scriptum in lapide Choiseuliano (in Boeckhii Corp. inscr. vol. I. p. 226), qui rationes quaestorum Minervae continet olympiadis 92. anni tertii. Photius p. 97, 5. Θυμαιτάδαι: δῆμος Ἱπποθοωντίδος· ἀπὸ Θυμαίτου [θυμήτου, in θυμίτου statim mutatum, cod. Gal.] τοῦ ἥρωος. Alia attulit Holstenius ad Stephanum Byz. p. 140." DIND. Dem. p. 934. Ἱππίας . . . Θυμαιτάδης. Annon scribendum igitur Θυμαιτάδην, aut potius Θυμαιτικὴν (ut Ἀχαρνικὴν, Λακωνικὴν, &c.)? Qu. Θουμάντιος (τοῦ ἀνεστίου, Eq. 1266).

1140. delet Hamaker. γιγνώσκεις B.C.R. γινώσκεις S.V.

μὰ τὸν Δί' οὐκ ἔγωγ'· ἀτὰρ δοκεῖ γέ μοι
ἐοικέναι μάλιστα Μορύχου σάγματι.
ΒΔ. οὔκ, ἀλλ' ἐν Ἐκβατάνοισι ταῦθ' ὑφαίνεται.
ΦΙ. ἐν Ἐκβατάνοισι γίγνεται κρόκης χόλιξ;
ΒΔ. πόθεν, ὦγάθ'; ἀλλὰ τοῦτο τοῖσι βαρβάροις
ὑφαίνεται πολλαῖς δαπάναις. αὕτη γέ τοι
ἐρίων τάλαντον καταπέπωκε ῥᾳδίως.
ΦΙ. οὔκουν ἐριώλην δῆτ' ἐχρῆν αὐτὴν καλεῖν
δικαιότερον ἢ καυνάκην; ΒΔ. ἔχ', ὦγαθέ,
καὶ στῆθί γ' ἀμπισχόμενος. ΦΙ. οἴμοι δείλαιος·
ὡς θερμὸν ἡ μιαρά τί μου κατήρυγεν.
ΒΔ. οὐκ ἀναβαλεῖ; ΦΙ. μὰ Δί' οὐκ ἔγωγ'· ἀλλ', ὦγαθέ,
εἴπερ γ' ἀνάγκη, κρίβανόν μ' ἄμπισχε σύ.
ΒΔ. φέρ' ἀλλ' ἐγώ σε περιβάλω. ΦΙ. σὺ δ' οὖν ἴθι.

1141. οὐ τοίνυν C.R.S.V.Γ. Br. οὐ τοίνυν γ' B.Δ. Ald. Ineptum hic est τοίνυν. Reponendum videtur οὐκ ἔγωγ' (cf. 1152), vel οὐ δῆτ', οὔκ, vel οὐκ ἔγνωκ', vel denique οὐδέπω γ' (ἐλήλυθα &c.). γέ μοι libri. γ' ἐμοὶ Br.

1142. ἐοικέναι vulg. Dind. προσεικέναι Cobet. Mein. Cobeti sententia est veteres Atticos semper formam contractam usurpasse, ut εἰκέναι (Nub. 185. Eur. Antig. Fr. X. 1), εἰκὼς (Ach. 693. Vesp. 1321. Av. 697), εἴξασι (Nub. 341. 343. Av. 96. 383). Adde ἥκειν (pro ἐῴκειν) Av. 1298. Richterus contra metro tantum postulante has formas adhibitas esse censet. Cf. Dawes. M. C. p. 295. Ruhnk. ad Tim. p. 98. Pierson. ad Moer. p. 147. Mein. Fr. Com. Ind. v. ἔοικα. Moeris: Εἰκὼς Ἀττικῶς· ἐοικὼς Ἑλληνικῶς. Προσεικέναι legitur Eccl. 1154. Eur. Bacch. 1282. μῶν σοι λέοντι φαίνεται προσεικέναι; Cf. ad Nub. 185. 1143. ἐν om. S.V.

1144. ἐν Ἐκβατάνοισι γίγνεται] Scripserat, opinor, ἐν Ἐκβατάνοις ὑφαίνεται. γίγνεται B.C.R. γίνεται S.V. χόριξ C. κρόκης χόλιξ B. in ras.

1146. τοι B.C.S.V. ποι R. Fortasse που.

1147. καταπέπτωκε S.

